eul_wid: bqs-ag

Ἀντιφῶν ὁ Ἀθηναῖος · Antiphon of Athens

# On the Samothracian Tribute

Ἀποσπάσματα

**Period:** Κλασική Classical
**Dialect:** Ἀττική Attic
**Domain:** Ῥητορική Oratory
**Format:** Λόγος Oration
**Affiliation:** Sophist

Frag.1.t Περὶ τοῦ Σαμοθρᾳκῶν φόρου (fr. 1): p. 164 .

Frag.1.1 i. ΠΕΡΙ ΤΟΥ ΣΑΜΟΘΡΑΙΚΩΝ ΦΟΡΟΥ . .

Frag.1.1 ... καὶ γὰρ οἱ τὴν ἀρχὴν οἰκίσαντες τὴν νῆσον ἦσαν Σάμιοι, ἐξ ὧν ἡμεῖς ἐγενόμεθα. Κατῳκίσθησαν δὲ ἀνάγκῃ, οὐκ ἐπιθυμίᾳ τῆς νήσου· ἐξέπεσον γὰρ ὑπὸ τυράννων ἐκ Σάμου καὶ τύχῃ ἐχρήσαντο, καὶ ταύτῃ λείαν λαβόντες ἀπὸ τῆς Θρᾴκης ἀφικνοῦνται εἰς τὴν νῆσον (Suidas, s. u. Σαμοθρᾴκη). Blass, no. 49.

Frag.1.2 . .

Frag.1.2 Ἡ γὰρ νῆσος ἣν ἔχομεν δήλη μὲν καὶ πόρρωθεν 〈ὅτι〉 ἐστὶν ὑψηλὴ καὶ τραχεῖα· καὶ τὰ μὲν χρήσιμα καὶ ἐργάσιμα μικρὰ αὐτῆς ἐστι, τὰ δ’ ἀργὰ πολλά, μικρᾶς αὐτῆς οὔσης ([Demetr.], περὶ ἑρμην., 53). Blass no. 50.

Frag.1.3 . .

Frag.1.3 ... ᾑρέθησαν γὰρ ἐκλογῆς παρ’ ἡμῖν οἷς πλεῖστα ἐδόκει χρήματα εἶναι (Harpocr., s. u. ἐκλογεῖς). Blass, no. 52.

Frag.1.4 . .

Frag.1.4 Καίτοι οὐκ ἂν τῆς μὲν τῶν ἄλλων πολιτῶν ταλαιπωρίας προὐσκέψαντο, τῆς δὲ σφετέρας αὐτῶν ἑταιρίας οὐκ ἐνεθυμήθησαν (Priscianus, 18, 280). Blass, no. 51.

Frag.2.1 ii. ΠΡΟΣ ΕΡΑΣΙΣΤΡΑΤΟΝ ΠΕΡΙ ΤΩΝ ΤΑΩΝ . .

Frag.2.1 Εἴ τις ἐθέλοι καταβαλεῖν εἰς πόλιν τοὺς ὄρνιθας, οἰχήσονται ἀναπτόμενοι· ἐὰν δὲ τῶν πτερύγων ἀποτέμῃ, τὸ κάλλος ἀφαιρήσεται· τὰ πτερὰ γὰρ αὐτῶν τὸ κάλλος ἐστίν, ἀλλ’ οὐ τὸ σῶμα (Atheneaus, ix, 397C). Blass, no. 57.

Frag.2.2 . .

Frag.2.2 Ἀλλὰ τὰς μὲν νουμηνίας ὁ βουλόμενος εἰσῄει· τὰς δ’ ἄλλας ἡμέρας εἴ τις ἔλθοι βουλόμενος θεάσασθαι, οὐκ ἔστιν ὅστις ἔτυχε· καὶ ταῦτα οὐκ ἐχθὲς οὐδὲ πρῴην, ἀλλ’ ἔτη πλέον ἢ τριάκοντά ἐστιν (Id., 397D). Blass, no. 57.

Frag.3.1 iii. ΠΕΡΙ ΤΗΣ ΜΕΤΑΣΤΑΣΕΩΣ . .

Frag.3.1

... αἱρεθεὶς ἀρχ]ὴν ἄρξαι [χρ]ήματα πολ[λὰ] διεχείρισα [κ]αὶ εὔθυναί μοι [ἦσ]αν ἃς ἐδεδοί[κε]ιν, ἢ ἄτιμος [ἦ]ν, ἢ κακόν [τι] ὑμᾶς εἰργα[σ]άμην, ἢ δί[κ]ην ἐπιρρέ[π]ουσαν ἐδε[δοίκ]ειν; οὐ δῆ[τα] ἔγωγε, ἐπεὶ [οὐδ]έν μοι ἦν [τού] των. Ἀλλ' ὡς [χρ]ήματα ἀφείλεσθε ἐμοῦ; [ἀλ]λ' ὡς τῶν [πρ]ογόνων τῶν ἐμῶν κα[κόν] τι εἰργα[σμένων ὑμᾶς ... Desiderantur quattuor uersus. Οἱ δὲ πολλοὶ τούτου ἕνεκ]α ἄλλης τινὸς πολιτείας ἢ τῆς καθεστηκυίας ἐπιθυμοῦσιν, ἵνα ἢ ὧν ἠδίκησαν δίκην μὴ δῶσιν, ἢ ὧν ἔπαθον τιμώρωνται καὶ αὖθις μηδὲν π[ά]σχωσιν· ἀλλ' ἐμοὶ τοιοῦτον οὐδὲν ἦν. Ἀλλὰ μὲν δὴ λέγουσιν οἱ κατήγοροι ὡς συνέγραφόν τε δίκας ἄλλοις καὶ ὡς ἐκέρδαινον ἀπὸ τούτου· οὐκοῦν ἐν μὲν τῇ ὀλιγαρχίᾳ οὐκ ἂν ἦν μο[ι τ]οῦτο, [ἐν δὲ τῇ δημ]οκρ[ατίᾳ κ]αὶ ὁ κρ[ατῶν] εἰμι ἐγὼ .... τοῦ λέγειν, ἐν μὲν τῇ ὀλιγαρχίᾳ οὐδ[ε]νὸς ἔμελλο[ν] ἄξιος ἔσεσθα[ι], ἐν δὲ τῇ δημοκρατ[ί]ᾳ πολλοῦ. Φέρ[ε] δή, πῶς εἰκό[ς] ἐστιν [ἐ]μὲ ὀλ[ι]γαρχίας ἐπιθυμεῖν; πότ[ε]ρον ταῦτα ἐκλογίζεσθαι οὐχ οἷός τ' ε[ἰμί], ἢ οὐ γιγνώσκειν τὰ λ[υσι]τελοῦντ[' ἐ]μαυτῷ [μόνος] Ἀθη [ναίων ... (Pap. Gen., Nicole, fr. i).

Frag.3.2 . .

Frag.3.2 ... περὶ τοίνυν ὧν Ἀπόληξις κατηγόρηκεν, ὡς στασιώτης ἦ 〈καὶ〉 ἐγὼ καὶ ὁ πάππος ὁ ἐμός ... οὐκ ἂν τοὺς μὲν τυραννοῦντας ἠδυνήθησαν οἱ πρόγονοι κολάσαι, τοὺς δὲ δορυφόρους ἠδυνάτησαν (Harpocr., s. u. στασιώτης).

Frag.3.2 Blass, no. 1.

Frag.3.3 . .

Frag.3.3 Περὶ τοῦ μὴ ἐλεεῖν ὑμᾶς ἐμὲ ἐδεήθη, δείσας μὴ ἐγὼ δάκρυσι καὶ ἱκετείαις πειρῶμαι ὑμᾶς ἀναπείθειν (Suidas, i, 977). Blass, no. 77.

Frag.3.4 . .

Frag.4.t ἄν]δρες ...... καὶ γυ[ναῖκες] καὶ πα[ῖδες ἔ]μελλο[ν δεῖ]σθαι ὑμ[ῶν] ὅτι, ἀπ ..... σκον η ..... ἐξὸν, τού[τοις ἀ]μύνει[ν εἰ]λόμεθ[α .... ] που τιν .... κτι ....... ωιεργ ..... (Pap. Gen. Nicole, fr. i) .

Frag.4.1 iv. ΚΑΤ' ΑΛΚΙΒΙΑΔΟΥ ΛΟΙΔΟΡΙΑΙ . .

Frag.4.1 Ἐπειδὴ ἐδοκιμάσθης ὑπὸ τῶν ἐπιτρόπων, παραλαβὼν παρ' αὐτῶν τὰ σαυτοῦ χρήματα, ᾤχου ἀποπλέων εἰς Ἄβυδον, οὔτε χρέος ἴδιον σαυτοῦ πραξόμενος οὐδὲν οὔτε προξενίας οὐδεμιᾶς ἕνεκεν, ἀλλὰ τῇ σαυτοῦ παρα νομίᾳ καὶ ἀκολασίᾳ τῆς γνώμης ὁμοίους ἔργων τρόπους μαθησόμενος παρὰ τῶν ἐν Ἀβύδῳ γυναικῶν, ὅπως ἐν τῷ ἐπιλοίπῳ βίῳ σαυτοῦ ἔχοις χρῆσθαι αὐτοῖς (Athenaeus, xii, 525 B). Blass, no. 67.

Frag.5.1 v. ΠΡΟΟΙΜΙΑ ΚΑΙ ΕΠΙΛΟΓΟΙ . .

Frag.5.1 Ἐγραψάμην ταύτην τὴν γραφὴν ἠδικημένος ὑπὸ τούτου νὴ Δία πολλά, ἔτι δὲ καὶ πλείω ὑμᾶς ᾐσθημένος ἠδικημένους τοὺς ἄλλους πολίτας (Suidas, i, p. 54). Blass, no. 68.

Frag.5.2 . .

Frag.5.2 ... κἀγὼ 〈μὲν〉 ὁ μοχθηρός, ὅντινα ἐχρῆν τεθνηκέναι, ζῶ τοῖς ἐχθροῖς κατάγελως (Photius, p. 278; Suidas, ii, p. 896). Blass, no. 70.

Frag.6.1 vi. ΡΗΤΟΡΙΚΑΙ ΤΕΧΝΑΙ . .

Frag.6.1 τὸ μὲν τὰ παρόντα (ἔφη) καὶ ὑπάρχοντα καὶ παρακείμενα αἰσθάνεσθαι κατὰ φύσιν εἶναι ἡμῖν· παρὰ φύσιν δὲ τὸ φυλάττειν αὐτῶν ἐκποδὼν γενομένων ἐναργῆ τὸν τύπον (Longinus ap.

Frag.6.1 Rhet. Gr., Spengel, i, p. 318). Blass, no. 71.

Frag.6.2 . .

Frag.6.2 τὰ μὲν παροιχόμενα σημείοις πιστοῦσθαι, τὰ δὲ μέλλοντα τεκμηρίοις (Ammonius, περὶ διαφ. λέξ., p. 127). Blass, no. 72.

Eulogikon public reading copy · View original HTML at eulogikon.org